eo quòd aliquid aliud dicatur ad ipſum. Vnum verò, aliquo minus eſſe, vtputa duobus nihil prohibet. Non enim ſi minus eſt, etiam paucum eſt: multitudo autem quaſi genus numeri eſt. Numerus etenim eſt multitudo, vno menſurabilis. Et quonam modo vnum & numerus opponuntur, non vt contraria, ſed (quemadmodum dictum eſt) vt quædam eorum, quæ ad aliquid. Quatenus enim hoc quidem menſura, illud verò menſurabile, eatenus opponuntur. Ideo non omne, quod vnum ſit, numerus eſt: vtputa, ſiquid indiuiſibile ſit. Cùm autem ſimiliter dicatur ſcientia ad ſcibile, non ſimiliter aſſignatur. Videri nanque poſſit ſcientia quidem menſura eſſe, ſcibile verò quod menſuratur. Accidit autem omnem quidem ſcientiam ſcibile eſſe, ſcibile non omne ſcientiam eſſe, eo quòd modo quodam ſcientia ſcibili menſuratur. Multitudo autem neque pauco contraria eſt, ſed huic multum tanquam excedens multitudo, exceſſæ multitudini: nec vni omnino, ſed hoc quidem (vt dictum eſt) quod diuiſibile, hoc indiuiſibile, tanquam ad aliquid, quemadmodum ſcientia ſcibili, ſi fuerit numerus: vnum verò menſura eſt.

CAPVT VII.

CVm verò contrariorum contingat aliquid medium eſſe, & quorundam ſit, neceſſe ex cõtrariis media eſſe. Omnia enim media, & illa, quorum media ſunt, in eodem genere ſunt. Media nanque illa dicimus, in quæ neceſſe eſt, primò transmutari, quod transmutatur: vtputa ſi ab hypate in neten paulatim pertrãſeat, prius ad medios ſonos veniet. Et in coloribus, ſi ex albo, ad nigrum veniat, prius ad puniceum, & fuſcum, quàm ad nigrum veniet. Similiter autem & in aliis. Transmutari verò ex alio genere in aliud genus, non eſt niſi ſecundum accidens: vt ex colore in figuram. Neceſſe igitur, vt media, & ſibi inuicem, & quorum media ſunt, in eodẽ genere ſint. At verò omnia, aliquorum oppoſitorum ſunt: ex his nanque ſolis, per ſe transmutari eſt. Quare impoſſibile eſt, media eſſe non oppoſitorum: eſſet nanque profectò transmutatio etiam ex non oppoſitis. Oppoſitorum verò contradictionis quidem, nullum eſt medium. Hoc enim eſt contradictio, oppoſitio cuius, cùm nihil habeat medium, cuicunque altera pars adeſt: cæterorum verò, quædam ad aliquid, quædam priuatio, quædam contraria ſunt. Eorum verò, quæ ad aliquid, quæcunque non ſunt contraria, non habent medium.

A τῷ λέγεσθαί τι ἄλλο πρὸς αὐτά. τὸ δὲ ἓν, ἔλαττον εἶναί τινος, οἷον τοῖν δυοῖν, οὐδὲν κωλύει. οὐ γὰρ εἰ ἔλαττον, καὶ ὀλίγον. τὸ δὲ πλῆθος, οἷον γένος ἐστὶ τοῦ ἀριθμοῦ. ἔστι γὰρ ἀριθμὸς, πλῆθος ἑνὶ μετρητόν. καὶ ἀντίκειταί πως τὸ ἓν καὶ ὁ ἀριθμὸς, οὐχ ὡς ἐναντίον, ἀλλ' ὥσπερ εἴρηται τῶν πρός τι ἔνια. ᾗ γὰρ μέτρον τὸ δὲ μετρητόν, ταύτῃ ἀντίκειται. διὸ οὐ πᾶν ὃ ἂν ᾖ ἓν, ἀριθμός ἐστιν, οἷον, εἴ τι ἀδιαίρετόν ἐστιν. ὁμοίως B δὲ λεγομένη ἡ ἐπιστήμη πρὸς τὸ ἐπιστητὸν, οὐχ ὁμοίως ἀποδίδωσι. δόξειε μὲν γὰρ ἂν μέτρον ἡ ἐπιστήμη εἶναι, τὸ δὲ ἐπιστητὸν τὸ μετρούμενον. συμβαίνει δὲ ἐπιστήμην μὲν πᾶσαν ἐπιστητὸν εἶναι, τὸ δὲ ἐπιστητὸν μὴ πᾶν ἐπιστήμην, ὅτι τρόπον τινὰ ἡ ἐπιστήμη μετρεῖται τῷ ἐπιστητῷ. τὸ δὲ πλῆθος, οὔτε τῷ ὀλίγῳ ἐναντίον, ἀλλὰ τούτῳ μὲν τὸ πολὺ, ὡς ὑπερέχον πλῆθος ὑ- C περεχομένῳ πλήθει· οὔτε τῷ ἑνὶ πάντως· ἀλλὰ τὸ μὲν ὥσπερ εἴρηται, ὅτι διαιρετὸν, τὸ δὲ ἀδιαίρετον, τὸ δὲ ὡς πρός τι, ὥσπερ ἡ ἐπιστήμη ἐπιστητῷ, ἐὰν ᾖ ἀριθμὸς, τὸ δὲ ἓν, μέτρον.

Κεφάλαιον ζ.

ΕΠεὶ δὲ τῶν ἐναντίων ἐνδέχεται εἶναί τι μεταξὺ, καὶ ἐνίων ἐστὶν, ἀνάγκη ἐκ τῶν ἐναντίων εἶναι τὰ μεταξύ. πάντα γὰρ τὰ μεταξὺ, ἐν D τῷ αὐτῷ γένει ἐστὶ, καὶ ὧν ἐστὶ μεταξύ. μεταξὺ μὲν γὰρ ταῦτα λέγομεν, εἰς ὅσα μεταβάλλειν πρότερον ἀνάγκη τὸ μεταβάλλον· οἷον ἀπὸ τῆς ὑπάτης ἐπὶ τὴν νήτην, εἰ μεταβαίνοι τῷ ὀλίγῳ χρόνῳ, ἥξει πρότερον εἰς τοὺς μεταξὺ φθόγγους· καὶ ἐν χρώμασιν, εἰ ἥξει ἐκ τοῦ λευκοῦ εἰς τὸ μέλαν, πρότερον ἥξει εἰς τὸ E φοινικοῦν καὶ φαιὸν, ἢ εἰς τὸ μέλαν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. μεταβάλλειν δὲ ἐξ ἄλλου γένους εἰς ἄλλο γένος οὐκ ἔστιν, ἀλλ' ἢ κατὰ συμβεβηκός· οἷον ἐκ χρώματος εἰς σχῆμα. ἀνάγκη ἄρα τὰ μεταξὺ καὶ αὐτοῖς, καὶ ὧν μεταξύ εἰσιν, ἐν τῷ αὐτῷ γένει εἶναι. ἀλλὰ μὴν πάντα γε τὰ μεταξύ, ἐστὶν ἀντικειμένων τινῶν. ἐκ τούτων γὰρ μόνων καθ' αὑτὸ ἔστι μεταβάλλειν. διὸ ἀδύνατον εἶναι μεταξὺ, μὴ ἀντικειμένων. εἴη F γὰρ ἂν μεταβολὴ, καὶ μὴ ἐξ ἀντικειμένων. τῶν δὲ ἀντικειμένων ἀντιφάσεως μὲν, οὐκ ἔστι μεταξύ. τοῦτο γάρ ἐστιν ἀντίφασις, ἀντίθεσις, ἧς ὁτῳοῦν μόριον θάτερον πάρεστιν, ἐχούσης οὐδὲν μεταξὺ ἧς ὁτῳοῦν θάτερον μόριον ὂν τὸ καὶ ἢ τὸ οὐ πάρεστιν, οὐκ ἐχούσης οὐδὲν μεταξύ.

τῶν δὲ